27 γὰρ εἰς ἡμέρας πολλάς. [27]ἐγὼ Δανιηλ ἀσθενήσας ἡμέρας πολλὰς 𝔊
καὶ ἀναστὰς ἐπραγματευόμην πάλιν βασιλικά. καὶ ἐξελυόμην ἐπὶ
τῷ ὁράματι, καὶ οὐδεὶς ἦν ὁ διανοούμενος.
9 [1]Ἔτους πρώτου ἐπὶ Δαρείου τοῦ Ξέρξου ἀπὸ τῆς γενεᾶς τῆς
2 Μηδικῆς, οἳ ἐβασίλευσαν ἐπὶ τὴν βασιλείαν τῶν Χαλδαίων, [2]τῷ
πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἐγὼ Δανιηλ διενοήθην ἐν ταῖς
βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὅτε ἐγένετο πρόσταγμα τῇ γῇ ἐπὶ
Ιερεμιαν τὸν προφήτην ἐγεῖραι εἰς ἀναπλήρωσιν ὀνειδισμοῦ Ιε-
3 ρουσαλημ, ἑβδομήκοντα ἔτη. [3]καὶ ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ
κύριον τὸν θεὸν εὑρεῖν προσευχὴν καὶ ἔλεος ἐν νηστείαις καὶ
4 σάκκῳ καὶ σποδῷ. [4]καὶ προσηυξάμην πρὸς κύριον τὸν θεὸν καὶ
ἐξωμολογησάμην καὶ εἶπα Ἰδού, κύριε, σὺ εἶ ὁ θεὸς ὁ μέγας καὶ
ὁ ἰσχυρὸς καὶ ὁ φοβερὸς τηρῶν τὴν διαθήκην καὶ τὸ ἔλεος τοῖς
5 ἀγαπῶσί σε καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά σου, [5]ἡμάρτο-
μεν, ἠδικήσαμεν, ἠσεβήσαμεν καὶ ἀπέστημεν καὶ παρέβημεν τὰς
6 ἐντολάς σου καὶ τὰ κρίματά σου [6]καὶ οὐκ ἠκούσαμεν τῶν παίδων

9 4 και 2º > 88

---

27 ἐστιν· καὶ σὺ σφράγισον τὴν ὅρασιν, ὅτι εἰς ἡμέρας πολλάς. [27]καὶ θ′
ἐγὼ Δανιηλ ἐκοιμήθην καὶ ἐμαλακίσθην ἡμέρας καὶ ἀνέστην καὶ
ἐποίουν τὰ ἔργα τοῦ βασιλέως· καὶ ἐθαύμαζον τὴν ὅρασιν, καὶ
οὐκ ἦν ὁ συνίων.
9 [1]Ἐν τῷ πρώτῳ ἔτει Δαρείου τοῦ υἱοῦ Ασουηρου ἀπὸ τοῦ
σπέρματος τῶν Μήδων, ὃς ἐβασίλευσεν ἐπὶ βασιλείαν Χαλδαίων,
2 [2]ἐν ἔτει ἑνὶ τῆς βασιλείας αὐτοῦ ἐγὼ Δανιηλ συνῆκα ἐν ταῖς βύ-
βλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὃς ἐγενήθη λόγος κυρίου πρὸς Ιερε-
μιαν τὸν προφήτην εἰς συμπλήρωσιν ἐρημώσεως Ιερουσαλημ, ἑ-
3 βδομήκοντα ἔτη. [3]καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς κύριον τὸν
θεὸν τοῦ ἐκζητῆσαι προσευχὴν καὶ δεήσεις ἐν νηστείαις καὶ σάκ-
4 κῳ καὶ σποδῷ. [4]καὶ προσηυξάμην πρὸς κύριον τὸν θεόν μου καὶ
ἐξωμολογησάμην καὶ εἶπα Κύριε ὁ θεὸς ὁ μέγας καὶ θαυμαστὸς ὁ
φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσίν σε καὶ
5 τοῖς φυλάσσουσιν τὰς ἐντολάς σου, [5]ἡμάρτομεν, ἠδικήσαμεν, ἠνο-
μήσαμεν καὶ ἀπέστημεν καὶ ἐξεκλίναμεν ἀπὸ τῶν ἐντολῶν σου
6 καὶ ἀπὸ τῶν κριμάτων σου [6]καὶ οὐκ εἰσηκούσαμεν τῶν δούλων

27 ημερας > BApau. | fin.] + subscr. ορασις θ′ A
9 1 init.] pr. inscr. ορασις ι′ A | δαρ(ε)ιου] > B*†; pr. επει A† = επι unus codex codici A cognatus: cf. 10 8 | ασσουηρου A | των > A || 2 init. — αυτου > Bpau. | βυβλοις B†] βιβ. rel.: cf. Thack. § 6, 43 | ετων] ημερων A† || 3 θεον] + του ουρανου A† | δεησεις B† (cf. 17)] -σιν rel.: cf. 23 | και σποδω > Bpau. || 4 τον θεον μου] του ουρανου A† | ελεος] + σου A || 5 ηδικ. ηνομ. (cf. 15)] ηνομ. ησεβησαμεν ηδικ. A(†), ηδικ. ησεβησαμεν Q